῾κρεῖσσον δέ μοι νῦν πρός σ᾽ ἀπέχθεσθαι, γύναι,
ἢ μαλθακισθένθ᾽ ὕστερον στένειν᾽ C

ἄλλοις ἐγνωμολόγησεν, αὐτὸς δὲ τῆς δυσωπίας ἥττων
γενόμενος καὶ μίαν ἡμέραν αἰτουμένῃ δοὺς ἀπώλεσε τὸν
οἶκον. ἔνιοι δὲ καὶ σφαγὰς ὑφορώμενοι καὶ φαρμακείας
διετράπησαν. οὕτω παραπώλετο Δίων, οὐκ ἀγνοήσας ἐπι-
βουλεύοντα Κάλλιππον ἀλλ᾽ αἰσχυνθεὶς φυλάττεσθαι φί-
λον ὄντα καὶ ξένον· οὕτως Ἀντίπατρος ὁ Κασάνδρου
Δημήτριον καλέσας ἐπὶ δεῖπνον εἶτα κληθεὶς τῇ ὑστεραίᾳ
πρὸς αὐτὸν ᾐδέσθη πεπιστευμένος ἀπιστεῖν, καὶ πορευ-
θεὶς ἐσφάγη μετὰ τὸ δεῖπνον. ῾Ηρακλέα δὲ τὸν Ἀλεξάνδρῳ
γενόμενον ἐκ Βαρσίνης ὡμολόγησε μὲν Κασάνδρῳ Πολυ-
πέρχων ἀναιρήσειν ἐπὶ ταλάντοις ἑκατὸν εἶτ᾽ ἐπὶ δεῖπνον D
ἐκάλει· τοῦ δὲ μειρακίου τὴν κλῆσιν ὑφορωμένου καὶ
δεδοικότος ἄλλως δὲ προφασιζομένου μαλακώτερον ἔχειν
ἐλθὼν ὁ Πολυπέρχων ῾πρῶτον᾽ εἶπεν ῾ὦ παῖ, μιμοῦ τοῦ
πατρὸς τὸ εὔκολον καὶ φιλέταιρον, εἰ μὴ νὴ Δία δέδοικας
ἡμᾶς ὡς ἐπιβουλεύοντας.᾽ αἰδεσθεὶς ἠκολούθησεν ὁ νεα-
νίσκος, οἱ δὲ δειπνίσαντες αὐτὸν ἐστραγγάλισαν. οὐ γε-
λοῖον οὖν, ὥς φασί τινες, οὐδ᾽ ἀβέλτερον ἀλλὰ σοφὸν τὸ
τοῦ ῾Ησιόδου (OD 342) ῾τὸν φιλέοντ᾽ ἐπὶ δαῖτα καλεῖν τὸν
δ᾽ ἐχθρὸν ἐᾶσαι.᾽ μὴ δυσωποῦ τὸν μισοῦντα μηδ᾽ ὑπαί-
καλλε πιστεύειν δοκοῦντα· κληθήσῃ γὰρ καλέσας καὶ E